# Conjugalia praecepta. Pudeurs [2]

### Auteur : Foucault, Michel

## Présentation de la fiche

Coteb023_f0417
SourceBoite_023-9-chem | Plutarque.
LangueFrançais
TypeFicheLecture
RelationNumérisation d'un manuscrit original consultable à la BnF, département des Manuscrits, cote NAF 28730

## Références éditoriales

Éditeuréquipe FFL (projet ANR *Fiches de lecture de Michel Foucault*) ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle).
Droits

- Image : Avec l'autorisation des ayants droit de Michel Foucault. Tous droits réservés pour la réutilisation des images.
- Notice : équipe FFL ; projet EMAN (Thalim, CNRS-ENS-Sorbonne nouvelle). Licence Creative Commons Attribution – Partage à l'Identique 3.0 (CC BY-SA 3.0 FR).

Notice créée par équipe FFL Notice créée le 19/03/2021 Dernière modification le 23/04/2021

---

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16350?context=pdf

νον αὐτὴν, Ἄφες με, εἶπε· πᾶσα γυνὴ τοῦ λύχνου ἀρθέντος ἡ αὐτή ἐστι. Τοῦτο πρὸς τοὺς μοιχικοὺς καὶ ἀκολάστους εἴρηται καλῶς· τὴν δὲ γαμετὴν δεῖ μάλιστα τοῦ φωτὸς ἀρθέντος εἶναι μὴ τὴν αὐτὴν ταῖς τυχούσαις γυναιξὶν, ἀλλὰ φαίνεσθαι, τοῦ σώματος μὴ βλεπομένου, τὸ σῶφρον αὐτῆς καὶ ἴδιον τῷ ἀνδρὶ καὶ τεταγμένον καὶ φιλόστοργον.

47. Ὁ Πλάτων τοῖς πρεσβύταις μᾶλλον παρῄνει αἰσχύνεσθαι τοὺς νέους, ἵνα κἀκεῖνοι πρὸς αὐτοὺς αἰδημόνως ἔχωσιν· ὅπου γὰρ ἀναισχυντοῦσιν οἱ γέροντες, οὐδεμίαν αἰδῶ τοῖς νέοις οὐδὲ εὐλάβειαν ἐγγίνεσθαι. Τούτου δεῖ μεμνημένον τὸν ἄνδρα, μηδένα μᾶλλον αἰδεῖσθαι τῆς γυναικὸς, * ὡς τὸν θάλαμον αὐτῇ διδασκαλεῖον εὐταξίας ἢ ἀκολασίας γενησόμενον. Ὁ δὲ τῶν αὐτῶν ἡδονῶν αὐτὸς μὲν ἀπολαύων, ἐκείνην δὲ ἀποτρέπων, οὐδὲν διαφέρει τοῦ κελεύοντος διαμάχεσθαι τὴν γυναῖκα πρὸς τοὺς πολεμίους, οἷς αὐτὸς ἑαυτὸν παρέδωκε.

48. Περὶ δὲ φιλοκοσμίας σὺ μὲν, ὦ Εὐρυδίκη, τὰ πρὸς Ἀρίστυλλαν ὑπὸ Τιμοξένας γεγραμμένα ἀναγνοῦσα πειρῶ διαμνημονεύειν· σὺ δὲ, ὦ Πολλιανὲ, μὴ νόμιζε περιεργίας ἀφέξεσθαι τὴν γυναῖκα καὶ πολυτελείας, ἂν ὁρᾷ σε μὴ καταφρονοῦντα τούτων ἐν ἑτέροις, ἀλλὰ καὶ χαίροντα χρυσώσεσιν ἐκπωμάτων, καὶ γραφαῖς οἰκημάτων, καὶ χλιδώσεσιν ἡμιόνων, καὶ ἵππων περιδεραίοις· οὐ γὰρ ἔστιν ἐξελάσαι τῆς γυναικωνίτιδος ἐν μέσῃ τῇ ἀνδρωνίτιδι τὴν πολυτέλειαν ἀναστρεφομένην.

Καὶ σὺ μὲν ὥραν ἔχων ἤδη φιλοσοφεῖν, τοῖς μετ' ἀποδείξεως καὶ κατασκευῆς λεγομένοις ἐπικόσμει τὸ ἦθος, ἐντυγχάνων καὶ πλησιάζων τοῖς ὠφελοῦσι· τῇ δὲ γυναικὶ πανταχόθεν τὸ χρήσιμον συνάγων, ὥσπερ αἱ μέλιτται, καὶ φέρων αὐτὸς ἐν σεαυτῷ, μεταδίδου καὶ προσδιαλέγου, φίλους αὐτῇ ποιῶν καὶ συνήθεις τῶν λόγων τοὺς ἀρίστους.

Πατὴρ [μὲν γὰρ ἐσσὶ αὐτῇ] καὶ πότνια μήτηρ,
ἠδὲ κασίγνητος.

Οὐχ ἧττον δὲ σεμνὸν ἀκοῦσαι γαμετῆς λεγούσης· Ἄνερ, ἀτὰρ σύ μοι ἐσσὶ καθηγητὴς καὶ φιλόσοφος καὶ διδάσκαλος τῶν καλλίστων καὶ θειοτάτων. Τὰ δὲ τοιαῦτα μαθήματα πρῶτον ἀφίστησι τῶν ἀτόπων τὰς γυναῖκας· αἰσχυνθήσεται γὰρ ὀρχεῖσθαι γυνὴ γεωμετρεῖν μανθάνουσα, καὶ φαρμάκων ἐπῳδὰς οὐ προσδέξεται, τοῖς Πλάτωνος ἐπᾳδομένη λόγοις καὶ τοῖς Ξενοφῶντος· ἂν δέ τις ἐπαγγέλληται καθαιρεῖν τὴν σελήνην, γελάσεται τὴν ἀμαθίαν καὶ τὴν ἀβελτηρίαν τῶν ταῦτα πειθομένων γυναικῶν, ἀστρολογίας μὴ ἀνηκόως ἔχουσα, καὶ περὶ Ἀγανίκης ἀκηκουῖα τῆς Ἡγήτορος τοῦ Θεσσαλοῦ θυγατρὸς, ὅτι τῶν ἐκλειπτικῶν ἔμπειρος οὖσα πανσελήνων, καὶ προειδυῖα τὸν χρόνον, ἐν ᾧ συμβαίνει τὴν σελήνην ὑπὸ τῆς σκιᾶς ἁλίσκεσθαι, παρεκρούετο καὶ συνέπειθε τὰς γυναῖκας, ὡς αὐτὴ καθαιροῦσα τὴν σελήνην. Παιδίον μὲν γὰρ οὐδεμία ποτὲ γυνὴ λέγεται

Missam me fac, ait, sublata enim lucerna, quævis mulier cujusvis est similis : id recte dictum est in adulteros et libidinosos. Matrona vero maxime exstincta lucerna debet non cujusvis mulieris similis esse, sed cum corpus cerni nequit, elucere pudicitia ejus, unius viri studium, modestiaque et amor.

XLVII. Plato senes hortabatur, ut coram adolescentibus verecunde agerent, ut sic revereri senes illi discerent : ubi enim inverecunde se gerunt senes, ibi nullam censebat adolescentibus verecundiam ingenerari posse. Hoc memoria tenere maritus debet, neque ullibi magis quam apud uxorem verecundiam adhibere, sentiens ei thalamum scholam esse aut modestiæ aut impudicitiæ. Qui autem ab iis voluptatibus uxorem avertit, quibus ipse fruitur, perinde agit ac qui jubeat mulierem contra hostes depugnare, quibus sese ipse dediderit.

XLVIII. De ornatus vero studio, te quidem, Eurydice, legere, ac memoriæ mandare velim quæ ad Aristyllam scripsit Timoxena : tu autem, Polliane, noli putare uxorem sibi a cultu supervacaneo et sumptuoso temperaturam, si in aliis rebus videat te sumptui indulgere, et gaudere auro inducendis poculis, ædibus pictura, mulis et equis phaleris ac tegminibus pretiosis ornandis. Non enim potest gynæceo luxuria sumptuosa ejici, quæ in medio obversatur virorum conclavi.

Ac tu quidem ætate jam ad philosophiam matura, iis quæ demonstrantur ac cum apparatu docentur, mores exorna tuos, et eam ob rem cum iis, ex quibus utilitatis capere potes aliquid, versare ac colloquere : apum vero instar optima quæque undique colligens, tecumque domum ferens, mulieri tuæ imperti, colloquendoque amica ei et familiaria optima quæque dicta reddito.

Namque es ei pater et frater, venerandaque mater :

ut illa apud Homerum de suo marito dicebat : ego autem sic judico, non minus facere ad dignitatem viri, si mulier eum suum præceptorem, philosophum, magistrumque appellet rerum quidem divinissimarum ac pulcherrimarum. Hujus enim modi disciplinæ id præcipuum habent, quod ab ineptis rebus studiisque animos mulierum abducunt : pudebit nimirum saltationis mulierem geometriæ gnaram, et magicis incantationibus se capi non patietur, Platonicis Xenophonteisque incantata disputationibus. Quod si qua erit, quæ se de cœlo lunam detracturam polliceatur, stultitiam imperitiamque deridebit mulierum, quæ ista sibi persuaderi passæ sint : quippe non rudis astrologiæ, et quæ auditu perceperit, quo pacto Aganice filia Hegetoris Thessali perita pleniluniorum in quibus deficit lumine luna : cum præcepisset ratiocinatione quo tempore luna in umbram illapsura foret, imposuerit mulieribus, per-

BnF MSS

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16350?context=pdf

Fichier issu d'une page EMAN : http://eman-archives.org/Foucault-fiches/items/show/16350?context=pdf